καὶ λόγον, ὃν ποιήσομεν. [4]καὶ εἶπεν αὐτοῖς Ιερεμιας Ἤκουσα, ἰδοὺ 4
ἐγὼ προσεύξομαι πρὸς κύριον τὸν θεὸν ἡμῶν κατὰ τοὺς λόγους
ὑμῶν· καὶ ἔσται, ὁ λόγος, ὃν ἂν ἀποκριθήσεται κύριος, ἀναγγελῶ
ὑμῖν, οὐ μὴ κρύψω ἀφ᾽ ὑμῶν ῥῆμα. [5]καὶ αὐτοὶ εἶπαν τῷ Ιερεμια 5
Ἔστω κύριος ἐν ἡμῖν εἰς μάρτυρα δίκαιον καὶ πιστόν, εἰ μὴ κατὰ
πάντα τὸν λόγον, ὃν ἂν ἀποστείλῃ σε κύριος πρὸς ἡμᾶς, οὕτως
ποιήσομεν· [6]καὶ ἐὰν ἀγαθὸν καὶ ἐὰν κακόν, τὴν φωνὴν κυρίου 6
τοῦ θεοῦ ἡμῶν, οὗ ἡμεῖς ἀποστέλλομέν σε πρὸς αὐτόν, ἀκουσό-
μεθα, ἵνα βέλτιον ἡμῖν γένηται, ὅτι ἀκουσόμεθα τῆς φωνῆς κυρίου
τοῦ θεοῦ ἡμῶν. — [7]καὶ ἐγενήθη μετὰ δέκα ἡμέρας ἐγενήθη λόγος 7
κυρίου πρὸς Ιερεμιαν. [8]καὶ ἐκάλεσεν τὸν Ιωαναν καὶ τοὺς ἡγεμόνας 8
τῆς δυνάμεως καὶ πάντα τὸν λαὸν ἀπὸ μικροῦ ἕως μεγάλου [9]καὶ 9
εἶπεν αὐτοῖς Οὕτως εἶπεν κύριος [10]Ἐὰν καθίσαντες καθίσητε ἐν 10
τῇ γῇ ταύτῃ, οἰκοδομήσω ὑμᾶς καὶ οὐ μὴ καθέλω καὶ φυτεύσω
ὑμᾶς καὶ οὐ μὴ ἐκτίλω· ὅτι ἀναπέπαυμαι ἐπὶ τοῖς κακοῖς, οἷς ἐποί-
ησα ὑμῖν. [11]μὴ φοβηθῆτε ἀπὸ προσώπου βασιλέως Βαβυλῶνος, οὗ 11
ὑμεῖς φοβεῖσθε ἀπὸ προσώπου αὐτοῦ· μὴ φοβηθῆτε, φησὶν κύριος,
ὅτι μεθ᾽ ὑμῶν ἐγώ εἰμι τοῦ ἐξαιρεῖσθαι ὑμᾶς καὶ σῴζειν ὑμᾶς ἐκ χει-
ρὸς αὐτοῦ· [12]καὶ δώσω ὑμῖν ἔλεος καὶ ἐλεήσω ὑμᾶς καὶ ἐπιστρέψω 12
ὑμᾶς εἰς τὴν γῆν ὑμῶν. [13]καὶ εἰ λέγετε ὑμεῖς Οὐ μὴ καθίσωμεν ἐν 13
τῇ γῇ ταύτῃ πρὸς τὸ μὴ ἀκοῦσαι φωνῆς κυρίου, [14]ὅτι εἰς γῆν Αἰ- 14
γύπτου εἰσελευσόμεθα καὶ οὐ μὴ ἴδωμεν πόλεμον καὶ φωνὴν σάλ-
πιγγος οὐ μὴ ἀκούσωμεν καὶ ἐν ἄρτοις οὐ μὴ πεινάσωμεν καὶ
ἐκεῖ οἰκήσομεν, [15]διὰ τοῦτο ἀκούσατε λόγον κυρίου Οὕτως εἶπεν 15
κύριος Ἐὰν ὑμεῖς δῶτε τὸ πρόσωπον ὑμῶν εἰς Αἴγυπτον καὶ
εἰσέλθητε ἐκεῖ κατοικεῖν, [16]καὶ ἔσται, ἡ ῥομφαία, ἣν ὑμεῖς φοβεῖσθε 16
ἀπὸ προσώπου αὐτῆς, εὑρήσει ὑμᾶς ἐν γῇ Αἰγύπτου, καὶ ὁ λιμός,
οὗ ὑμεῖς λόγον ἔχετε ἀπὸ προσώπου αὐτοῦ, καταλήμψεται ὑμᾶς
ὀπίσω ὑμῶν ἐν Αἰγύπτῳ, καὶ ἐκεῖ ἀποθανεῖσθε. [17]καὶ ἔσονται πάν- 17
τες οἱ ἄνθρωποι καὶ πάντες οἱ ἀλλογενεῖς οἱ θέντες τὸ πρόσωπον
αὐτῶν εἰς γῆν Αἰγύπτου ἐνοικεῖν ἐκεῖ ἐκλείψουσιν ἐν τῇ ῥομφαίᾳ
καὶ ἐν τῷ λιμῷ, καὶ οὐκ ἔσται αὐτῶν οὐθεὶς σῳζόμενος ἀπὸ τῶν
κακῶν, ὧν ἐγὼ ἐπάγω ἐπ᾽ αὐτούς. [18]ὅτι οὕτως εἶπεν κύριος Καθὼς 18

4 εγω > B*† | τον > S | αν] εαν S, > A || 5 εν > A | αν αποστειλη] απεστειλεν A† | σε (cf. 50 1)] > BA pau. | ουτως] ου A† || 7 μεθ ημερας δεκα A | εγενηθη 2⁰] > S*†, εγενετο S$^c$*L*: cf. Rahlfs Sept.-Stud. 3 (1911), p. 260. 294 || 8 τον $1^0$ > B† | τους] pr. παντας A (in *O* sub ※) | εως: cf. 1 || 10 μη $1^0$ > S*† | επι τοις κακοις] απο των κακων SA†: sequitur ων in S†, sed A retinet οις || 11 εγω ειμι του] εγω > S**C*†, ειμι > B†, του > B S* pau. | αυτου ult.] -των BA || 14 γην] pr. την S*C*† | -σωμεν $1^0 \frown 2^0$ S*† | οικησωμεν S || 15 λογους S | ουτως ειπεν κυρ. > S*† || 16 εφοβεισθε S*† | αιγυπτου] -τω A | ο > S† || 18 καθως] pr. οτι A†